ἀρθ. στιχ.

τοῦ δρῶντος ἀρθέντος γὰρ ἄρδην ἐκ μέσου
τοῦδ' ἡ δράσις τ' ἔληξεν, ἡ νόσημ' ἕδρα κβ. 467 --471
κινήσεων βλάπτουσα χρῆσιν ἀρτίαν,
ἥτ' ἀντέρεισις, ἥπερ ἀντέδρα δέμας
πρὸς ἔκκρισιν τοῦδ' ἐκβεβλαμμένου σθένους,
σὺν δ' ἐσκέδασται πᾶν νέφος ξυμπτωμάτων,
ἵκται δ' ἔπειτα χρῆσις αὐτίκ' ἀρτία
κινήσεων τῶνδ', ἡ κέκλητ' εὐεξία. ια. 229

Λς. Τοῖον τι καὶ γὰρ δρᾶν ἐν ἀλθέξει νόσων
Ἰατρὸς ὄφλει φαρμάκοισι προσφόροις,
οἷον φύσις δρᾷ κἀντερείδει τῇ νόσῳ κζ. 579
μάσσουσα πρὶν, πέσσουσα, καὶ ξὺν ἀθρόᾳ
χυμοῦ κακοῦντος ἐκκρίσει μιᾷ μόνῃ
σωτηριωδῶς τὰς νόσους κρίνουσ' ἄγαν· λ. 647
ἧπου γ' ὀφείλει τῆσδ' ὀπαδεῖν ἰχνίοις,
καὶ τῇδ' ἐπαρκεῖν ἐν δέοντι προσφόρως κθ. 622
τὰ πρῶτ' ἀμαλδύνων μὲν αἰτίου σθένος,
τουτὶ μετατρέπων τε κἀλλοιῶν ἅπαν,
τὸ δραστικόν τε τοῦδ' ἀπαμβλύνων ὅσον
τοῖς πεπτικοῖς τε φαρμάκοις κεκλημένοις (υ)
τοίοις τ' ἀκεσμοῖς· ὧδ' ἐπαύξει γὰρ πλέον
σθένος τὸ τῆσδε, τήνδ' ἐπισχύει δ' ἅλις κθ. 624
πρὸς ἔκκρισιν τοῦδ', εἶτα δ' ἐκκρούει τόδε (φ)
ὀρ-

---

(υ) Ἀλεξ. Τραλλ. Θ. ε. (φ) ἀφορ. Δ. ι. ἐπιδ. Ε. κε. Ἀλέξ. Τραλλ. ιβ. ς.